ΧΟ. τί φής; ὦ τάλας.
ΗΛ. ὀλεῖς, εἰ βλέφαρα κινήσεις
ὕπνου γλυκυτάταν φερομένῳ χάριν.
ΧΟ. μέλεος ἐχθίστων θεόθεν ἐργμάτων,
τάλας. ΗΛ. φεῦ μόχθων.
ἄδικος ἄδικα τότ᾽ ἄρ᾽ ἔλακεν ἔλακεν, ἀπό-
φονον ὅτ᾽ ἐπὶ τρίποδι Θέμιδος ἄρ᾽ ἐδίκασε
φόνον ὁ Λοξίας ἐμᾶς ματέρος.
ΧΟ. ὁρᾷς; ἐν πέπλοισι κινεῖ δέμας. str.
ΗΛ. σὺ γάρ νιν, ὦ τάλαινα,
θωΰξασ᾽ ἔβαλες ἐξ ὕπνου.
ΧΟ. εὕδειν μὲν οὖν ἔδοξα.
ΗΛ. οὐκ ἀφ᾽ ἡμῶν, οὐκ ἀπ᾽ οἴκων
πάλιν ἀνὰ πόδα σὸν εἱλίξεις
μεθεμένα κτύπου;
ΧΟ. ὑπνώσσει. ΗΛ. λέγεις εὖ.
πότνια, πότνια νύξ,
ὑπνοδότειρα τῶν πολυπόνων βροτῶν,
ἐρεβόθεν ἴθι, μόλε μόλε κατάπτερος
τὸν Ἀγαμεμνόνιον ἐπὶ δόμον.
ὑπὸ γὰρ ἀλγέων ὑπό τε συμφορᾶς
διοιχόμεθ᾽, οἰχόμεθα. κτύπον ἠγάγετ᾽· οὐχὶ σῖγα
σῖγα φυλασσομένα
στόματος ἀνακέλαδον ἀπὸ λέχεος ἥ-
συχον ὕπνου χάριν παρέξεις, φίλα;
ΧΟ. θρόει τίς κακῶν τελευτὰ μένει. antistr.
ΗΛ. θανεῖν· τί δ᾽ ἄλλο;
οὐδὲ γὰρ πόθον ἔχει βορᾶς.
ΧΟ. πρόδηλος ἆρ᾽ ὁ πότμος.

---

159. χαράν (χάριν) E χαράν ceteri. 160. μέλεος Bc ὦ μέλεος ceteri. 161. ὦ τάλας libri. ΗΛ.] addidit Seidlerus. 165. ὁ om. C

171. ἐλίξεις C 174. ὦ πότνια C 179. ἀγαμεμνονειον (ι) E ἀγαμεμνόνειον ceteri. ἐπὶ δόμον γρ. ἐπιδομον A ἐπὶ δόμον γρ. γόνον B ἐπὶ δόμον ceteri. 185. διὰ στόματος C 186. χαράν libri, χάριν schol. φίλα B ὦ φίλα ceteri. 188. τί δ᾽ ἄλλο ABE C τί δ᾽ ἄλλο γ᾽ εἴποις F τί γ᾽ ἄλλο γ᾽ εἴπω c (?)